# ΜΟΥΣΑΙΟΥ
## ΤΑ ΚΑΘ' ΗΡΩ ΚΑΙ Λέανδρον.

Εἰπὲ θεὰ κρυφίων ἐπιμάρτυρα λύχνον ἐρώτων,
καὶ νύχιον πλωτῆρα θαλασσοπόρων ὑμεναίων,
καὶ γάμον ἀχλυόεντα, τὸν οὐκ ἴδεν ἄφθιτος ἠώς.
καὶ Σηστὸν καὶ Ἄβυδον, ὅπη γάμος ἔννυχος Ἡροῦς.
νηχόμενόν τε Λέανδρον ὁμοῦ, καὶ λύχνον ἀκούω,
λύχνον ἀπαγγέλλοντα διακτορίην Ἀφροδίτης.
Ἡροῦς νυκτιγάμοιο γαμοστόλον ἀγγελιώτην.
λύχνον, ἔρωτος ἄγαλμα, τὸν ὤφελεν αἰθέριος ζεὺς
ἐννύχιον μετ' ἄεθλον ἄγειν ἐς ὁμήγυριν ἄστρων,
καί μιν ἐπικλῆσαι νυμφοστόλον ἄστρον ἐρώτων,
ὅττι πέλεν συνέριθος ἐρωμανέων ὀδυνάων.
ἀγγελίην δ' ἐφύλαξεν ἀκοιμήτων ὑμεναίων,
πρὶν χαλεπὸν πνοιῇσιν ἀήμεναι ἐχθρὸν ἀήτην.
ἀλλ' ἄγε μοι μέλποντι μίαν ξυνάειδε τελευτὴν
λύχνου σβεννυμένοιο, καὶ ὀλλυμένοιο Λεάνδρου.
Σηστὸς ἔην καὶ Ἄβυδος ἐναντίον· ἐγγύθι πόντου,
γείτονές εἰσι πόληες, ἔρως δ' ἀνὰ τόξα τιταίνων
ἀμφοτέρῃς πολίεσσιν ἕνα ξυνέηκεν ὀϊστὸν,
ἠΐθεον φλέξας καὶ παρθένον. οὔνομα δ' αὐτῶν
ἱμερόεις τε Λέανδρος ἔην, καὶ παρθένος Ἡρώ.
ἡ μὲν, Σηστὸν ἔναιεν, ὁ δὲ, πτολίεθρον Ἀβύδου.
ἀμφοτέρων πολίων περικαλλέες ἀστέρες ἄμφω.
ἴκελοι ἀλλήλοισι. Σὺ δ' εἴ ποτε κεῖθι περήσεις,
δίζεό μοι τινὰ πύργον, ὅπη ποτὲ Σεστιὰς Ἡρὼ